# APOLLONIUS RHODIUS

## I [I iii 124D.]

*Καλλίμαχος τὸ κάθαρμα, τὸ παίγνιον, ὁ ξύλινος νοῦς,*
*αἴτιος ὁ γράψας Αἴτια Καλλίμαχος.*

# ARATUS

## I [II ii 81D.]

*Ἀργεῖος Φιλοκλῆς Ἄργει καλός, αἱ δὲ Κορίνθου*
*στῆλαι καὶ Μεγαρέων ταὐτὸ βοῶσι τάφοι·*
*γέγραπται καὶ μέχρι λοετρῶν Ἀμφιαράου*
*ὡς καλός. ἀλλ' †ὀλίγοι† γράμμασι λειπόμεθα·*
*τῷδ' οὐ γὰρ πέτραι ἐπιμάρτυρες, ἀλλὰ Πριηνεὺς*
*αὐτὸς ἰδών, ἑτέρου δ' ἐστὶ περισσότερος.*

## II [II ii 81D.]

*αἰάζω Διότιμον, ὃς ἐν πέτραισι κάθηται*
*Γαργαρέων παισὶν βῆτα καὶ ἄλφα λέγων.*